ρεμβολὴ, ȣ̓ φοβηθήσεται ἡ καρδία μȣ. Ἐὰν ἐπαναςῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ᾐτησάμην παρὰ Κυρίȣ, ταύτην ζητήσω· τȣ̃ κατοικεῖν με ἐν οἴκῳ Κυρίȣ πάσας τὰς ἡμέρας τῆς ζωῆς μȣ. Τȣ̃ θεωρεῖν με τὴν τερπνότητα Κυρίȣ, καὶ ἐπισκέπτεσθαι τὸν Ναὸν τὸν ἅγιον αὐτȣ̃. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτȣ̃, ἐν ἡμέρᾳ κακῶν μȣ, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτȣ̃. Ἐν πέτρᾳ ὕψωσέ με, καὶ νῦν ἰδȣ̀ ὕψωσε κεφαλήν μȣ ἐπ᾽ ἐχθρȣ́ς μȣ. Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτȣ̃ θυσίαν αἰνέσεως, καὶ ἀλαλαγμȣ̃. ᾄσω, καὶ ψαλῶ τῷ Κυρίῳ. Εἰσάκȣσον Κύριε τῆς φωνῆς μȣ, ἧς ἐκέκραξα, ἐλέησόν με, καὶ εἰσάκȣσόν μου. Σοὶ εἶπεν ἡ καρδία μȣ, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μȣ, τὸ πρόσωπόν σȣ Κύριε ζητήσω. Μὴ ἀποςρέψῃς τὸ πρόσωπόν σȣ ἀπ᾽ ἐμȣ̃, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τȣ̃ δȣ́λȣ σȣ. Βοηθός μȣ γενȣ̃, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ Σωτήρ μȣ. Ὅτι ὁ Πατήρ μȣ, καὶ ἡ Μήτηρ μȣ ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σȣ, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, ἕνεκα τῶν ἐχθρῶν μȣ. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. Πιστεύω τȣ̃ ἰδεῖν τὰ ἀγαθὰ Κυρίȣ ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν Κύριον, ἀνδρίζȣ, καὶ κραταιȣ́σθω ἡ καρδία σȣ, καὶ ὑπόμεινον τὸν Κύριον.

Δόξα.

## ΨΑΛΜΟΣ ΤΩ, ΔΑΒΙΔ. κζ΄. 27.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μȣ, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμȣ̃, μήποτε παρασιωπήσῃς ἀπ᾽ ἐμȣ̃, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνȣσιν εἰς λάκκον. Εἰσάκȣσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μȣ, ἐν τῷ δέεσθαί με πρὸς σέ. Ἐν τῷ αἴρειν με χεῖράς μȣ πρὸς ναὸν